δι' ὧνπερ οἶδεν αἷμα ῥηγνύναι μόνον,
ὃ πώμαλ' ἐστι τῶν νόσων τῶνδ' αἰτία,
ὥσπερ τάδ' ἴσμεν ἐμφανῶς πείρας ὕπο.

Δ. Οὐκοῦν ἃ μὴ χρὴ ταῦτ' ἄγων, παρεὶς δ' ἅπερ
χρῆν, ἃ ξυνιστᾷ τῆς νόσου τὴν αἰτίαν
οὔπως ὀνήσει, μεῖζον οἴσει δὲ βλάβος.
δράσει μένουσα ταῦτα καὶ γὰρ αἰτία·
μακρῷ δ' ἔτ' ἂν δράσειε χεῖρον ἤδέ που,
ἔνθ' οὐ πάρεστιν ἀντερείσεως σθένος,
ὅ γ' ἀντιδρᾷν δύναιτο πρὸς τῆσδε δρᾶσιν,
δρῶν μὲν πεπασμοὺς, εὐτρεπίζον δ' ἐκκρίσεις·
ὃ σώματος πέφυκεν ἔμφυτον σθένος,
μειωθὲν ἔμπης τῇ κενώσει τῇδ' ἅλις,
μηδὲν περιττὸν ἐκκενώσῃ γ' ἢ βλάβος,
χυμοὺς δ' ὅσοι θάλπουσι σώματος σθένος
τουτὶ τρέφοντες δρῶντες εὐκαμπές θ' ἅμα,
χ' ὁρμὴν νέμοντες τῷ σθένει τῶν σφύξεων.

Ε. Τόδ' οὖν κενώσει τῇδ' ἀμαλδύνων ἅλις
ὡς μηδαμῶς ἔτ' ἀντερείδειν τῇ νόσῳ,
καὶ μηκέτι δρᾷν τοὺς πεπασμοὺς καιρίους,
χυμοῦ τ' ἐπισπῶν τοῦ κακοῦντος τὸν ῥόον
τόπους ἐς ἄλλους, κοὐκ ἐς οὓς φύσει ῥέπει
τοὺς πρὸς κένωσιν τοῦδε συμφορωτέρους,
ῥοπὰς παρατρέψει τε πάσας τὰς φύσει,
κρίσεις ἐπισχήσει τε τὰς σωτηρίους
φέρων νοσοῦσιν ἀντ' ὀνήσεως βλάβην.

ἀλ-